3 ὅταν ἕτερον καθ' ἑτέρου κατηγορῆται ὡς καθ' ὑποκειμένου, ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, πάντα καὶ[3]) κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται, οἷον ἄνθρωπος κατὰ τοῦ τινὸς ἀνθρώπου

---

significari possunt respectu, ita verba οὔτε καθ' ὑποκειμένου τινὸς λέγεται, vertit ولا يقال على موضوع et paullo inferius „ἡ γὰρ τὶς γραμματική“ فانّ كتابة, et saepius ita infra.

1) Ἐν ὑποκειμένῳ δὲ ἔνια οὐδὲν κωλύει εἶναι فليس مانع يمنع ان يكون بعضها موجودا فيه, ἐν αὐτῷ δὲ ἔνια etc. Pacius ex manu scripto suo notavit τούτων, ante ἔνια, quod utrum Arabs legerit an omiserit, ex voce بعضها cognosci non potest.

2) ἡ γάρ τις γραμματική, addit noster τῇ ψυχῇ, اى فى النفس quae ex loco antecedenti repetita videntur.

3) Ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, πάντα καὶ etc. Pacius e codice suo manu scripto notavit λέγεται, πάντα καὶ etc. Ita quidem etiam Arabs legisse videtur qui haec verba ita vertit قيل كل ما يقال على المحمول على موضوع ايضا *omne* quod de praedicato dicitur, id etiam de subjecto dicitur. Quanquam id certe ex verbis arabicis non cognoscitur. Vix enim alio modo graecum ὅσα arabice exprimi potest nisi vocibus كل ما vel جميع ما cf. infra verba ὥστε ὅσαι τοῦ κατηγορουμένου etc.

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de/rosdok/ppn1007313501/phys_0024

κατηγορεῖται, το δὲ ζῷον κατὰ τοῦ ἀνθρώπου· οὐκοῦν καὶ κατὰ τοῦ τινὸς ἀνθρώπου κατηγορηθήσεται τὸ ζῷον· ὁ γάρ τις ἄνθρωπός καὶ ἄνθρωπός ἐστι καὶ ζῷον.

τῶν ἑτερογενῶν [1]) καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων ἕτεραι τῷ εἴδει [2]) καὶ αἱ διαφοραί, οἷον ζῴου καὶ ἐπιστήμης· [3]) ζῴου μὲν γὰρ διαφοραὶ τό τε πεζὸν καὶ τὸ δίπουν καὶ τὸ πτηνὸν καὶ τὸ ἔνυδρον, ἐπιστήμης δὲ οὐδεμία τούτων· οὐ γὰρ διαφέρει ἐπιστήμη ἐπιστήμης τῷ δίπους εἶναι. τῶν δέ γε ὑπ' ἄλληλα γενῶν οὐδὲν κωλύει τὰς αὐτὰς διαφορὰς εἶναι· τὰ γὰρ ἐπάνω [4]) τῶν ὑπ' αὐτὰ γενῶν κατηγορεῖται, ὥστε ὅσαι τοῦ κατηγορουμένου διαφοραί εἰσι, τοσαῦται καὶ τοῦ ὑποκειμένου ἔσονται. [5])

---

1) *Τῶν ἑτερογενῶν*, ubi alii *ἑτέρων γενῶν* habent, Arabs vertit الاجناس المختلفة, diversorum generum (*τῶν ἑτέρων γενῶν*), ita etiam vetus interpres latinus (Venet. 1582) haec verba expressit.

2) *τῷ εἴδει.* Simplicius *σὺν τῷ εἴδει*, Arabs في النوع, legisse videtur *ἐν τῷ εἴδει.*

3) *οἷον ζῴου καὶ ἐπιστήμης* etc. absunt haec verba a versione arabica, quae ita habet من ذلك ان فصول الحيوان كقولك المشاء والطير وذو الرجلين والسابح وفصول العلم etc. „Hujusmodi (sunt) differentiae animalis, velut (ut dicis) pedestre et avis et bipes atque differentiae scientiae etc.“ Arabs haec verba ita legisse videtur: *οἷον ζῴου μὲν διαφοραὶ τό τε πεζὸν καὶ τὸ πτηνὸν καὶ τὸ δίπουν καὶ τὸ ἔνυδρον καὶ ἐπιστήμης διαφοραὶ* etc.

4) *τὰ γὰρ ἐπάνω* addit Arabs *διαφοραὶ* فان الفصول التى هى اعلى „nam differentiae quae superiores sunt ordine, praedicuntur de etc.

5) *ὥστε ὅσαι τοῦ κατηγορουμένου διαφοραί εἰσι, τοσαῦται καὶ τοῦ ὑποκειμένου ἔσονται*, حتى يكون جميع فصول الجنس المحمول هى باعيانها فصول الجنس الموضوع „ut sint omnes differentiae generis definiti eaedem etiam differentiae generis

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de/rosdok/ppn1007313501/phys_0025

4 τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων ἕκαστον ἤτοι οὐσίαν σημαίνει ἢ ποσὸν ἢ ποιὸν ἢ πρός τι ἢ ποῦ ἢ ποτὲ ἢ κεῖσθαι ἢ 5 ἔχειν ἢ ποιεῖν ἢ πάσχειν. ἔστι δὲ οὐσία μὲν ὡς τύπῳ εἰπεῖν οἷον ἄνθρωπος, ἵππος· ποσὸν δὲ οἷον δίπηχυ, τρίπηχυ·[1] ποιὸν δὲ οἷον λευκόν, γραμματικόν· πρός τι δὲ οἷον διπλάσιον, ἥμισυ, μεῖζον·[2] ποῦ δὲ οἷον ἐν Λυκείῳ, ἐν ἀγορᾷ· ποτὲ δὲ οἷον ἐχθές, πέρυσιν· κεῖσθαι δὲ οἷον ἀνάκειται, κάθηται· ἔχειν δὲ οἷον ὑποδέ- 10 δεται, ὥπλισται. ποιεῖν δὲ οἷον τέμνει, καίει· πάσχειν δὲ οἷον τέμνεται, καίεται. ἕκαστον δὲ τῶν εἰρημένων αὐτὸ μὲν καθ' αὑτὸ ἐν οὐδεμιᾷ καταφάσει λέγεται ἢ ἀποφάσει, τῇ δὲ πρὸς ἄλληλα τούτων συμπλοκῇ κατάφασις ἢ ἀπόφασις γίνεται.[3] ἅπασα γὰρ δοκεῖ κατάφασις καὶ ἀπόφασις ἤτοι ἀληθὴς ἢ ψευδὴς εἶναι· τῶν δὲ κατὰ 15 μηδεμίαν συμπλοκὴν λεγομένων οὐδὲν οὔτε ἀληθὲς οὔτε ψεῦδός ἐστιν, οἷον ἄνθρωπος, λευκόν, τρέχει, νικᾷ.

5 οὐσία δέ ἐστιν ἡ κυριώτατά τε καὶ πρώτως καὶ μάλιστα λεγομένη, ἢ μήτε καθ' ὑποκειμένου τινὸς λέγεται μήτ' ἐν ὑποκειμένῳ τινί ἐστιν, οἷον ὁ τὶς ἄνθρωπος ἢ ὁ τὶς ἵππος.[4] δεύτεραι δὲ οὐ-

---

subjecti" legisse videtur ὥστε ὅσαι τοῦ κατηγορουμένου γένος διαφ. εισ. τοσ. κ. τοῦ ὑποκειμένου γένους διαφοραὶ ἔσονται.

1) τρίπηχυ, legit Arabs quae vox a quibusdam editionibus abest.

2) μεῖζον post ἥμισυ abest a versione arabica.

3) ἐν οὐδεμιᾷ καταφάσει λέγεται ἢ ἀποφάσει. — κατάφασις ἢ ἀπόφασις γίνεται. Fuerunt qui verba ἢ ἀποφάσει non legere vellent ut Ammonius ad h. l.: „τὰ πολλὰ τῶν βιβλίων καὶ δοκοῦντα καλῶς ἔχειν, οὐκ ἔχει τὸ „ἢ ἀποφάσει" ἀλλὰ μόνον τὸ „ἐν οὐδεμιᾷ καταφάσει λέγεται." Arabs haec verba retinuit — تحدث الموجبة والسالبة فلم تقل بايجاب ولا بسلب

4) ἢ ὁ τὶς ἵππος Arabs legit καὶ ὁ τὶς ἵππος وفرس ما.

σίαι λέγονται, ἐν οἷς εἴδεσιν [1]) αἱ πρώτως οὐσίαι λεγόμεναι ὑπάρχουσι, ταῦτά τε καὶ τὰ τῶν εἰδῶν τούτων γένη, οἷον ὁ τὶς ἄνθρωπος ἐν εἴδει μὲν ὑπάρχει τῷ ἀνθρώπῳ, [2]) γένος δὲ τοῦ εἴδους ἐστὶ τὸ ζῷον· [3]) δεύτεραι οὖν αὗται λέγονται οὐσίαι, οἷον ὅ τε ἄνθρωπος καὶ τὸ ζῷον. φανερὸν δὲ ἐκ τῶν εἰρημένων ὅτι τῶν καθ' ὑποκειμένου λεγομένων ἀναγκαῖον καὶ τοὔνομα καὶ τὸν λόγον κατηγορεῖσθαι τοῦ ὑποκειμένου, [4]) οἷον ὁ ἄνθρωπος καθ' ὑποκειμένου

---

1) λέγονται, ἐν οἷς εἴδεσιν etc. Casaubonus in margine notavit λέγονται τὰ εἴδη ἐν οἷς, versio arabica فهى الانواع التى فيها توجد الجواهر. cf. quae supra diximus de his verbis pag. 13.

2) οἷον ὁ τὶς ἄνθρωπος ἐν εἴδει μὲν ὑπάρχει τῷ ἀνθρώπῳ. A. مثال ذلك ان انسانا ما هو فى نوع اى فى الانسان, vocem ὑπάρχει quam aliis in locis arabico verbo وجد vertit, hoc quidem loco noster non expressit, sed quum ὑπάρχει hoc loco eandem fere significationem habeat quam verbum substantivum ἔστι, cui in lingua arabica pronomen tertiae personae respondet, non dubito quin etiam hoc loco ὑπάρχει legerit ac pronomine tertiae personae هو exprimere voluerit.

3) γένος δὲ τοῦ εἴδους ἐστὶ τὸ ζῷον. Ar. legisse videtur — τοῦ εἴδους τούτου وجنس هذا النوع etc. „genus autem hujus speciei“ etc.

4) ἀναγκαῖον καὶ τοὔνομα καὶ τὸν λόγον κατηγορεῖσθαι τοῦ ὑποκειμένου — فقد يجب ضرورة ان يحمل اسمها وقولها يقال على ذلك الموضوع „necesse est ut definiatur et nomen ejus et notio (λόγος) ejus, nimirum de subjecto illo.“ Legisse videtur ..... κατηγορεῖσθαι, [λέγω δὲ] κατὰ τοῦ ὑποκειμένου τούτου. Verbum يقال (dicitur) quod verto nimirum, saepius a nostro ita adhibetur ut conjunctioni inserviat, quum quae initito propositionis dicta erant, ob majorem perspicuitatem in fine repetantur, ut graecorum λέγω, nostrum, *ich meine nemlich*, et idem valet ac particula

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de/rosdok/ppn1007313501/phys_0027

λέγεται τοῦ τινὸς ἀνθρώπου, καὶ κατηγορεῖταί γε τοὔνομα [1])· τὸν γὰρ ἄνθρωπον τοῦ τινὸς ἀνθρώπου κατηγορήσεις· [2]) καὶ ὁ λόγος δὲ ὁ τοῦ ἀνθρώπου κατὰ τοῦ τινὸς ἀνθρώπου κατηγορηθήσεται· ὁ γάρ τις ἄνθρωπος καὶ ἄνθρωπός ἐστι καὶ ζῷον. ὥστε καὶ τοὔνομα καὶ ὁ λόγος κατὰ τοῦ ὑποκειμένου κατηγορηθήσεται. [3]) τῶν δ' ἐν ὑποκειμένῳ ὄντων ἐπὶ μὲν τῶν πλείστων οὔτε τοὔνομα οὔθ' ὁ λόγος κατηγορεῖται τοῦ ὑποκειμένου [4])· ἐπ' ἐνίων δὲ τοὔνομα μὲν οὐδὲν κωλύει κατηγορεῖσθαί ποτε τοῦ ὑποκειμένου, τὸν δὲ λόγον

ای quae iis verbis, quae hunc locum sequuntur eadem vi posita est, οἷον ἄνθρωπος καθ' ὑποκειμένου μὲν λέγεται τοῦ τινὸς ἀνθρώπου, ومثال ذلك ان الانسان يقال على موضوع اى على انسان ما „velut homo dicitur de subjecto, *nimirum* de certo quodam homine“. Hoc loco etiam noster, ut supra, addit κατὰ ante τοῦ τινὸς ἀνθρώπου.

1) καὶ κατηγορεῖταί γε καὶ τοὔνομα, addit Arabs κατ' αὐτοῦ فاسمه يحمل عليه „et nomen ejus definitur de illo (scilicet subjecto).“

2) τὸν γὰρ ἄνθρωπον τοῦ τινὸς ἀνθρώπου κατηγορήσεις. Retinuit Arabs particulam κατὰ, quam Bekkerus rejecit. Vertit enim noster: على انسان ما

3) ὥστε κατηγορηθήσεται. Pacius annotavit e msto suo κατηγορεῖται. Editio Hild. habet ῥηθήσεται, Arabs haud dubie legit κατηγορηθήσεται: vertit enim فيكون الاسم والقول يحملان

4) οὔτε τοὔνομα οὔθ' ὁ λόγος κατηγορεῖται τοῦ ὑποκειμένου لا يحمل على الموضوع لا اسمها ولا حدها „non definitur de subjecto neque nomen ejus, neque definitio ejus.“ Graecum vocabulum λόγος, quod alias arabico قول (verbum) reddidit, hoc loco vertit حدّ, (terminus, definitio). Legit autem etiam hoc loco κατὰ τοῦ ὑποκειμένου, ita etiam verba quae sequuntur κατηγορεῖσθαι ποτε τοῦ ὑποκ. et κατηγορεῖται τοῦ ὑποκειμένου legit κατὰ τοῦ ὑποκειμένου, semper vertens على الموضوع.

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de/rosdok/ppn1007313501/phys_0028

ἀδύνατον, οἷον τὸ λευκὸν ἐν ὑποκειμένῳ ὂν τῷ σώματι κατηγορεῖται τοῦ ὑποκειμένου (λευκὸν γὰρ σῶμα λέγεται), ὁ δὲ λόγος ὁ τοῦ λευκοῦ [1]) οὐδέποτε κατὰ σώματος κατηγορηθήσεται. τὰ δ' ἄλλα πάντα ἤτοι καθ' ὑποκειμένων λέγεται τῶν πρώτων οὐσιῶν ἢ ἐν ὑποκειμέναις αὐταῖς ἐστίν. [2]) τοῦτο δὲ φανερὸν ἐκ τῶν καθ' ἕκαστα προχειριζομένων [3]) οἷον τὸ ζῷον κατὰ τοῦ ἀνθρώπου κατηγορεῖται· οὐκοῦν καὶ κατὰ τοῦ τινὸς ἀνθρώπου κατηγορηθήσεται [4]) τὸ ζῷον· εἰ γὰρ κατὰ μηδενὸς τῶν τινῶν ἀνθρώπων, οὐδὲ

---

1) ὁ δὲ λόγος ὁ τοῦ λευκοῦ قول الابيض. Legisse videtur ὁ δὲ λόγος τοῦ λευκοῦ, quam lectionem etiam Pacius e manuscripto suo notavit.

2) ἤτοι καθ' ὑποκειμένων λέγεται — ἢ ἐν ὑποκειμέναις αὐταῖς ἐστιν. Editt. Aldinn. et Hild. καθ' ὑποκειμένου et ἐν ὑποκειμένῳ, ita etiam infra, ubi haec verba repetuntur. Ammonius ἤτοι καθ' ὑποκειμένων— ἢ ἐν ὑποκειμένῳ ἐστί. Arabs cum vulg. utroque in loco pluralem legit, وكل ما سواها فامّا ان يكون على موضوعات اى يقال على الجواهر الاول وامّا ان يكون فى موضوعات اى يقال فيها „Omnia autem quae praeter haec sunt, vel de subjectis sunt, id est, dicuntur de substantiis primariis, vel in subjectis sunt, id est dicuntur de illis (sc. substantiis primariis).“

3) τοῦτο δὲ φανερὸν ἐκ τῶν καθ' ἕκαστα προχειριζομένων. Arabs legisse videtur φαν. δ. τ. πρὸ τῶν καθ' ἕκαστα χειριζομένων وذلك ظاهر من قبل التصفّح للجزويات „atque hoc elucet *ante* disquisitionem singularum partium.“

4) Οὐκοῦν καὶ κατὰ τοῦ τινὸς ἀνθρώπου κατηγορηθήσεται addiderunt Bekkerus et alii, τὸ ζῷον. Arabs vertit فهو ايضا على انسان ما „idem igitur etiam de certo quodam homine.“ Pronomen tertiae personae هو respicit quidem in الحى (τὸ ζῶον) nec tamen conjicere licet nostrum verba τὸ ζῷον legisse; pronomen enim illud in sermone arabico nullo modo abesse potest. Abest autem a versione arabica

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de/rosdok/ppn1007313501/phys_0029

κατὰ ἀνθρώπου ὅλως. πάλιν τὸ χρῶμα ἐν σώματι· οὐκοῦν καὶ ἐν τινὶ σώματι ὅλως. ὥστε τὰ ἄλλα πάντα ἤτοι καθ' ὑποκειμένων λέγεται τῶν πρώτων οὐσιῶν ἢ ἐν ὑποκειμέναις αὐταῖς ἐστίν. μὴ οὐσῶν οὖν τῶν πρώτων οὐσιῶν ἀδύνατον τῶν ἄλλων τι εἶναι. [1])

τῶν δὲ δευτέρων οὐσιῶν μᾶλλον οὐσία τὸ εἶδος τοῦ γένους· ἔγγιον γὰρ τῆς πρώτης οὐσίας ἐστίν. ἐὰν γὰρ ἀποδιδῷ τις τὴν πρώτην οὐσίαν τί ἐστι, γνωριμώτερον καὶ οἰκειότερον ἀποδώσει [2]) τὸ εἶδος ἀποδιδοὺς ἤπερ τὸ γένος, οἷον τὸν τινὰ ἄνθρωπον ἀποδι-

---

κατηγορηθήσεται. Qua re opinor nostrum haec verba ita legisse, οἷον τὸ ζῷον κατὰ τοῦ τινος ἀνθρώπου κατηγορεῖται, οὐκοῦν καὶ τὸ αὐτὸ κατὰ τοῦ τινος ἀνθρώπου.

1) τῶν ἄλλων τι εἶναι. Addit Arabs verba πάντα γὰρ τὰ ἄλλα etc. quae in editione Sylburgiana jam uncinis inclusa leguntur, a recentioribus autem rejecta sunt وذلك ان كل ما سواها فاما أن يكون على موضوعات اى يقال عليها واما فى موضوعات اى يقال فيها.

2) Γνωριμώτερον καὶ οἰκειότερον ἀποδώσει etc. edd. Aldd. aliaeque veteres habent ἀποδοίη. Nostrum cum vulg. ἀποδώσει legisse ex duobus praeteritis particulam إن sequentibus apparet. cf. quae supra annotavimus ad Cp. I. In versione arabica haec verba ita leguntur: انّ موفّيا ان وفى الجوهر الاول ما هو كان اعطاؤه النوع اشدّ ملآمة وابين فى الدلالة عليه من اعطائه الجنس i. e. Nam explicaturus aliquis quum explicare vellet substantiam primariam, quid ea sit, explicatio ejus τὸ species (i. e. quod sit species) fortior erit ad concordantiam et evidentior in monstrando, quam explicatio ejus τὸ genus (i. e. quod sit genus). اعطآء nom. actionis IV. rad عطا dare, actionem dandi et donandi significat et idem valet ac توفية n. a. II. rad وفى, integer fuit, completus fuit, II. prorsus totumque dedit. Saepius noster graecum ἀποδοῦναι his verbis arabicis vertit, quae apud alios scriptores arabicos semper dandi significationem habent, nusquam autem explicandi;

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de/rosdok/ppn1007313501/phys_0030

δοὺς γνωριμώτερον ἂν ἀποδοίη ἄνθρωπον ἢ ζῷον ἀποδιδούς· τὸ μὲν γὰρ ἴδιον μᾶλλον τοῦ τινὸς ἀνθρώπου, τὸ δὲ κοινότερον. καὶ τὸ τὶ δένδρον ἀποδιδοὺς [1]) γνωριμώτερον ἀποδώσει δένδρον ἀποδιδοὺς ἢ φυτόν. ἔτι αἱ πρῶται οὐσίαι διὰ τὸ τοῖς ἄλλοις ἅπασιν ὑποκεῖσθαι καὶ πάντα τὰ ἄλλα κατὰ τούτων κατηγορεῖσθαι ἢ ἐν αὐταῖς εἶναι διὰ τοῦτο μάλιστα οὐσίαι λέγονται. [2]) ὡς δέ γε αἱ πρῶται οὐσία πρὸς τὰ ἄλλα πάντα [3]) ἔχουσιν, οὕτω καὶ τὸ εἶδος πρὸς τὸ γένος ἔχει. ὑπόκειται γὰρ τὸ εἶδος τῷ γένει· τὰ μὲν γὰρ γένη κατὰ τῶν εἰδῶν κατηγορεῖται, τὰ δὲ εἴδη κατὰ τῶν γενῶν οὐκ ἀντιστρέφει. ὥστε καὶ ἐκ τούτων τὸ εἶδος τοῦ γένους μᾶλλον οὐσία. [4]) αὐτῶν δὲ τῶν εἰδῶν ὅσα [5]) μή ἐστι γένη, οὐδὲν μᾶλλον ἕτε-

---

primariam verbi graeci significationum magis reddere studens quam sententiam.

1) *δένδρον ἀποδιδοὺς γνωριμώτερον ἀποδώσει*, Pacius, Casaubonus et alii, post *γνωριμώτερον* addunt *καὶ οἰκειότερον*, quae verba Arabs non habet.

2) *διὰ τοῦτο μάλιστα οὐσίαι λέγονται*, vocem *πρῶται*, quam nonnullae editiones post *οὐσίαι* habent, etiam Arabs omisit.

3) *πάντα* in editionibus quibusdam uncinis inclusum legitur, abfuit enim tum ab edd. Aldd. tum a cod. msto a Pacio collato, Arabs tamen legit hanc vocem vertens سائر الامور كلها.

4) *ὥστε καὶ ἐκ τούτων τὸ εἶδος τοῦ γένους μᾶλλον οὐσία* vertit Arabs فيجب من ذلك ايضا ان النوع اولى واحق بان يوصف جوهرا من الجنس „ita ut vel hinc appareat speciem magis describendam esse substantiam, (ita ut sit substantia)“. Verba بان يوصف in graecis exemplaribus non leguntur. Probabile est nostrum post *οὐσία* addidisse *λέγεται*, vel *κατηγορεῖται*.

5) *Αὐτῶν δὲ τῶν εἰδῶν ὅσα* etc. *αὐτῶν* noster non expressit.

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de/rosdok/ppn1007313501/phys_0031

ρον ἑτέρου οὐσία ἐστίν· οὐδὲν γὰρ οἰκειότερον ἀποδώσεις [1]) κατὰ τοῦ τινὸς ἀνθρώπου τὸν ἄνθρωπον ἀποδιδοὺς ἢ κατὰ τοῦ τινὸς ἵππου τὸν ἵππον. ὡσαύτως δὲ καὶ τῶν πρώτων οὐσιῶν [2]) οὐδὲν μᾶλλον ἕτερον ἑτέρου οὐσία ἐστίν· οὐδὲν γὰρ μᾶλλον ὁ τὶς ἄνθρωπος οὐσία ἢ ὁ τὶς βοῦς.

εἰκότως δὲ μετὰ τὰς πρώτας οὐσίας μόνα τῶν ἄλλων τὰ εἴδη καὶ τὰ γένη δεύτεραι οὐσίαι λέγονται· μόνα γὰρ δηλοῖ τὴν πρώτην οὐσίαν τῶν κατηγορουμένων. τὸν γάρ τινα ἄνθρωπον ἐὰν ἀποδιδῷ τις τί ἐστι, τὸ μὲν εἶδος ἢ τὸ γένος ἀποδιδοὺς οἰκείως ἀποδώσει καὶ γνωριμώτερον ποιήσει ἄνθρωπον ἢ ζῷον ἀποδιδούς [3])· τῶν δ'

---

1) ἀποδώσεις alii legunt ἀποδώσει, noster secundam personam legit ut ex suffixo secundae personae توفيتك elucet, ان كان ليس توفيتك فى انسان ما „etenim non est explicatio tua de certo quodam homine“.

2) ὡσαύτως δὲ καὶ τῶν πρώτων οὐσιῶν. Casaubonus et alii ἐπὶ τῶν πρώτων. Arabs وكذلك ليس الواحد من الجواهر الاول اولى من الآخر بان يوصف جوهرا „ita etiam non est una substantiarum primariarum magis (digna) quam alia, quae substantia dicatur.“ Praepositio مِنْ, non graecae praepositioni ἐπί respondet, sed genitivum partitivum potius exprimit vel ut grammatici arabici dicunt, partitioni (تبعيض) inservit, quam ob rem من للتبعيض eam appellant. Legisse tamen noster videtur ἑτέρου οὐσία λέγεται, non οὐσία ἐστί: vertit enim بان يوصف „ut describatur.“ Et paullo inferius verba οὐδὲν γὰρ μᾶλλον ὁ τὶς ἄνθρωπος οὐσία ἢ ὁ τὶς βοῦς, quae a nonnullis leguntur οὐδὲν γ. μ. ὁ τ. ἀ. οὐσία ἐστιν ἢ ὁ τὶς βοῦς, noster legit οὐδ. γ. μ. ὁ τ. ἀ. οὐσία λέγεται (بان يوصف جوهرا) ἢ ὁ τὶς ἵππος (او فرس ما).

3) καὶ γνωριμώτερον ποιήσει ἄνθρωπον ἢ ζῷον ἀποδιδούς. Haec verba quorum auctoritas a Buhlio in dubitationem vocatur, in editionibus quibusdam uncinis inclusa leguntur. Arabs ea vertit واذا وفاه بانه انسان كان ذلك ابين فى الدلالة عليه من

ἄλλων [1]) ὅ τι ἂν ἀποδιδῷ τις, ἀλλοτρίως ἔσται ἀποδεδωκώς, οἷον λευκὸν ἢ τρέχει ἢ ὁτιοῦν τῶν τοιούτων ἀποδιδούς. ὥστε εἰκότως τῶν ἄλλων ταῦτα μόνα [2]) οὐσίαι λέγονται. ἔτι αἱ πρῶται οὐσίαι διὰ τὸ τοῖς ἄλλοις ἅπασιν ὑποκεῖσθαι [3]) κυριώτατα [4]) οὐσίαι λέγονται. ὡς δέ γε αἱ πρῶται οὐσίαι πρὸς τὰ ἄλλα πάντα ἔχουσιν, [5]) οὕτω τὰ εἴδη καὶ τὰ γένη [6]) τῶν πρώτων οὐσιῶν πρὸς τὰ λοιπὰ πάντα ἔχει· κατὰ τούτων γὰρ πάντα τὰ λοιπὰ κατηγορεῖται. τὸν

توفيته بانه حيّ „Et quum hominem eum esse explicaverit, evidentius id erit in monstrando in eum, quam explicatio ejus quod sit animal.“

1) τῶν δὲ ἄλλων — ἀποδεδωκώς, addunt nonnulli πάντων post ἄλλων, quod tamen jam Boëthius non expressit neque Arabs noster, qui vertit وان وفاه بشي مما سوى ذلك اىّ شيء كان كانت توفيته له غريبة مستنكرة „at vero sin explicaverit re aliqua praeter haec (quidcunque vero ceterorum in medium attuleris) explicatio hujus rei aliena erit et absurda.“ مستنكرة „absurda“ quod Arabs addit, in graecis exemplaribus non legitur.

2) δεύτεραι, quod nonnulli post μόνα inserunt. Arabs non legit.

3) καὶ τὰ ἄλλα πάντα κατὰ τούτων κατηγορεῖσθαι ἢ ἐν αὐταῖς εἶναι — quae verba Bekkerus post ὑποκεῖσθαι rejecit, Arabs legit, ita vertens وسائر الامور كلها محمولة عليها او موجودة فيها „et (quia) ceterae res omnes iis attribuuntur, vel in iis insunt“.

4) κυριώτατα Arabs legisse videtur μάλιστα, vertit enim اولى واحقّ ut supra μάλιστα et μᾶλλον. κυριώτατα autem aliis in locis ubi occurrit vertere solet على — بالتحقق — اول بالتحقيق التحقيق

5) ὡς δὲ — πρὸς τὰ ἄλλα πάντα ἔχουσιν. Arabs πάντα non legisse videtur, vertit سائر الامور „res ceterae,“ omissa voce كلها. cf. autem infra τὰ λοιπὰ πάντα سائرالامور الاخر كلها.

6) τὰ εἴδη καὶ τὰ γένη, retinuit etiam Arabs hunc ordinem verborum. ed. Basil habet τὰ γένη καὶ τὰ εἴδη.

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de/rosdok/ppn1007313501/phys_0033

γάρ τινα ἄνθρωπον ἐρεῖς γραμματικόν· οὐκοῦν καὶ ἄνθρωπον καὶ ζῷον γραμματικὸν ἐρεῖς. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. [1])

κοινὸν δὲ κατὰ πάσης οὐσίας τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι. ἡ μὲν γὰρ πρώτη οὐσία οὔτε ἐν ὑποκειμένῳ ἐστὶν οὔτε καθ' ὑποκειμένου λέγεται· τῶν δὲ δευτέρων οὐσιῶν φανερὸν μὲν καὶ οὕτως ὅτι οὐκ εἰσὶν ἐν ὑποκειμένῳ. ὁ γὰρ ἄνθρωπος καθ' ὑποκειμένου μὲν τοῦ τινὸς ἀνθρώπου λέγεται, ἐν ὑποκειμένῳ δὲ οὐκ ἔστιν· [2]) οὐ γὰρ ἐν τῷ τινὶ ἀνθρώπῳ ὁ ἄνθρωπός ἐστιν. ὡσαύτως δὲ καὶ τὸ ζῷον καθ' ὑποκειμένου μὲν λέγεται τοῦ τινὸς ἀνθρώπου, [3]) οὐκ ἔστι δὲ τὸ ζῷον ἐν τῷ τινὶ ἀνθρώπῳ. ἔτι δὲ τῶν ἐν ὑποκειμένῳ ὄντων τὸ μὲν ὄνομα οὐδὲν κωλύει κατηγορεῖσθαί ποτε τοῦ ὑποκειμένου, [4]) τὸν δὲ λόγον ἀδύνατον. [5]) τῶν δὲ δευτέρων οὐσιῶν κατηγορεῖται καὶ ὁ λόγος κατὰ τοῦ ὑποκειμένου καὶ τοὔνομα· [6]) τὸν

---

1) ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων, Arabs legit τῶν ἄλλων τοιούτων, وكذلك تجرى الامور فى سايَر ما اشبهه

2) ὁ γὰρ ἄνθρωπος καθ' ὑποκειμένου μὲν τοῦτινὸς ἀνθρώπουλέγεται, ἐν ὑποκειμένῳ δὲ οὐκ ἔστιν addit Arabs اى فيه i. e. scilicet in eo (homine). Respicit enim pronomen tertiae personae (فيه) in انسان ما ut ipse noster indicavit signis et in utraque voci positis فان الانسان يقال على موضوع اى على انسان ما وليس هو فى موضوع اى فيه.

3) τοῦ τινὸς ἀνθρώπου. ar. اى على انسان ما, κατὰ τοῦ τ. ἀ.

4) ποτε τοῦ ὑποκειμένου. ar. على موضوع καθ' ὑποκειμένου.

5) τὸν δὲ λόγον ἀδύνατον, addit Arabs verba الى ان يحمل عليه. Legit fortasse ἀδύνατον κατηγορεῖσθαι κατ' αὐτοῦ, magis tamen probabile videtur verba الى ان etc. explicationis et perspicuitatis causa ab eo addita esse.

6) κατηγορεῖται καὶ ὁ λόγος κατὰ τοῦ ὑποκειμένου καὶ τοὔνομα — Pacius ex msto suo in margine notavit κατηγορεῖται τοὔνομα καὶ ὁ λό-

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de/rosdok/ppn1007313501/phys_0034

γὰρ τοῦ ἀνθρώπου λόγον κατὰ τοῦ τινὸς ἀνθρώπου κατηγορήσεις, καὶ τὸν τοῦ ζῴου ὡσαύτως.[1]) ὥστε οὐκ ἂν εἴη ἡ οὐσία τῶν ἐν ὑποκειμένῳ. οὐκ ἴδιον δὲ τοῦτο τῆς οὐσίας, ἀλλὰ καὶ ἡ διαφορὰ τῶν μὴ ἐν ὑποκειμένῳ ἐστίν. τὸ γὰρ πεζὸν καὶ τὸ δίπουν καθ' ὑποκειμένου μὲν λέγεται τοῦ ἀνθρώπου[2]) ἐν ὑποκειμένῳ δὲ οὐκ ἔστιν· οὐ γὰρ ἐν τῷ ἀνθρώπῳ ἐστὶ τὸ δίπουν ἢ τὸ πεζόν.[3]) καὶ ὁ λόγος δὲ κατηγορεῖται ὁ τῆς διαφορᾶς, καθ' οὗ ἂν λέγηται ἡ διαφορά, οἷον εἰ τὸ πεζὸν κατὰ τοῦ ἀνθρώπου λέγεται, καὶ ὁ λόγος ὁ τοῦ πεζοῦ κατηγορηθήσεται τοῦ ἀνθρώπου[4]). πεζὸν γάρ ἐστιν ὁ ἄνθρωπος. μὴ ταραττέτω δὲ ἡμᾶς τὰ μέρη τῶν οὐσιῶν ὡς ἐν ὑποκειμένοις ὄντα τοῖς ὅλοις, μή ποτε ἀναγκασθῶμεν οὐκ οὐσίας

γος κατὰ τοῦ ὑποκειμένου. Arabs ordinem verborum ab editionibus probatum καὶ ὁ λόγος — καὶ τοὔνομα retinuit فانه يحمل على الموضوع قولها واسمها

1) καὶ τὸν τοῦ ζῴου ὡσαύτως, Arabs omissa voce ὡσαύτως verba καὶ τὸν τοῦ ζῴου λόγον وقول الحىّ cum antecedentibus conjungit.

2) τοῦ ἀνθρώπου ita etiam Arabs اى على الانسان alii habent τοῦ τινὸς ἀνθρ. Particula اى nihil est nisi conjunctio expletiva ab Arabe interprete addita.

3) οὐ γὰρ ἐν τῷ ἀνθρώπῳ ἐστὶ τὸ δίπουν, ἢ τὸ πεζόν. وذلك ان ذا الرجلين ليس هو فى الانسان ولا الماشى. Ex verbis arabicis cognosci non potest num legerit οὐδὲ γάρ, an cum aliis οὐ γάρ. Legit autem οὐδὲ τὸ πεζόν, cum edd. vulgg. nec ἢ τὸ πεζόν quod Pacius in textu Ammonii commentario interposito invenerat, neque οὐδὲ γὰρ ἐν ὑποκειμένῳ τῷ ἀνθρ. quam lectionem habet editio Isingriana.

4) οἷον εἰ τὸ πεζὸν κατὰ τοῦ ἀνθρ. λέγεται, καὶ ὁ λόγος ὁ τοῦ πεζοῦ κατηγορηθήσεται τοῦ ἀνθρώπου. مثال ذلك ان المشا ان كان يقال على الانسان فان قول المشا محمول على الانسان

αὐτὰ φάσκειν εἶναι· οὐ γὰρ οὕτω τὰ ἐν ὑποκειμένῳ ἐλέγετο τὰ ὡς μέρη ὑπάρχοντα ἔν τινι. [1])

ὑπάρχει δὲ ταῖς οὐσίαις καὶ ταῖς διαφοραῖς τὸ πάντα συνωνύμως ἀπ' αὐτῶν λέγεσθαι. πᾶσαι γὰρ αἱ ἀπ' αὐτῶν κατηγορίαι ἤτοι κατὰ τῶν ἀτόμων κατηγοροῦνται ἢ κατὰ τῶν εἰδῶν. ἀπὸ μὲν γὰρ τῆς πρώτης οὐσίας [2]) οὐδεμία ἐστὶ κατηγορία· κατ' οὐδενὸς γὰρ ὑποκειμένου λέγεται· τῶν δὲ δευτέρων οὐσιῶν τὸ μὲν εἶδος κατὰ τοῦ ἀτόμου κατηγορεῖται, τὸ δὲ γένος καὶ κατὰ τοῦ εἴδους καὶ κατὰ τοῦ ἀτόμου. [3]) ὡσαυτως δὲ καὶ αἱ διαφοραὶ κατὰ τῶν

---

legit ὁ τοῦ πεζοῦ κατηγορεῖται, nam participium (محمول) apodosin formans ad protasin a particula إنْ dependentem praesens tempus definit. τοῦ ἀνθρώπου legisse videtur κατὰ τοῦ ἀνθρώπου.

1) οὐ γὰρ οὕτω τὰ ἐν ὑποκειμένῳ ἐλέγετο τὰ ὡς μέρη ὑπάρχοντα ἔν τινι. Versio antiqua (Venet. 1482) „quae tanquam partes insunt", quam secutus Buhlius τὰ ὡς μέρη in textum recepit, ut ante eum jam edd. Aldd. et Hild. fecerant. Alii autem, qui Pacium secuti sunt, Sylburg. et Casaubonus legunt ὡς τὰ μέρη. Arabs neque hanc neque illam lectionem ante oculos habuit, sed ὡς μέρη, sublato articulo et ut videtur, τὸ ἐν ὑποκειμένῳ et ὡς μέρος. لانّه لم يكن قول ما يقال فى موضوع على هذا الطريق على انه فى شىء كجزء منه „quoniam non est definitio (قول λόγος) ejus quod dicitur in subjecto, eo modo ut sit in re aliqua veluti pars ejus" vel, si vocabulum قول in primaria sua significatione accipere placet „quoniam id quod dicitur in subjecto, non eo modo dicitur ut sit in re aliqua veluti pars ejus" ὑπάρχοντα autem, quod verbi substantivi vim habet, Arabs non expressit.

2) ἀπὸ τῆς πρώτης οὐσίας, Ar. من الجواهر الأُوَل ἀπὸ τῶν πρώτων οὐσιῶν.

3) τὸ δὲ γένος καὶ κατὰ τοῦ εἴδους καὶ κατὰ τοῦ ἀτόμου ita etiam Arabs singularem legit. والجنس على النوع وعلى الشخص Vett. habent τῶν εἰδῶν — τῶν ἀτόμων.

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de/rosdok/ppn1007313501/phys_0036

εἰδῶν καὶ κατὰ τῶν ἀτόμων κατηγοροῦνται. καὶ τὸν λόγον δὲ ἐπιδέχονται αἱ πρῶται οὐσίαι τὸν τῶν εἰδῶν καὶ τὸν τῶν γενῶν, καὶ τὸ εἶδος δὲ τὸν τοῦ γένους. [1]) ὅσα γὰρ κατὰ τοῦ κατηγαρουμένου λέγεται, πάντα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται. ὡσαύτως δὲ καὶ τὸν τῶν διαφορῶν λόγον [2]) ἐπιδέχεται τὰ εἴδη καὶ τὰ ἄτομα. συνώνυμα δέ γε ἦν ὧν καὶ τοὔνομα κοινὸν καὶ ὁ λόγος ὁ αὐτός, ὥστε πάντα τὰ ἀπὸ τῶν οὐσιῶν καὶ τὰ ἀπὸ τῶν διαφορῶν συνωνύμως λέγεται.

πᾶσα δὲ οὐσία δοκεῖ τόδε τι σημαίνειν. ἐπὶ μὲν οὖν τῶν πρώτων οὐσιῶν ἀναμφισβήτητον καὶ ἀληθές [3]) ἐστιν ὅτι τόδε τι σημαίνει· ἄτομον γὰρ καὶ ἓν ἀριθμῷ τὸ δηλούμενόν ἐστιν· ἐπὶ δὲ τῶν δευτέρων οὐσιῶν φαίνεται μὲν ὁμοίως τῷ σχήματι τῆς προσηγορίας τόδε τι σημαίνειν, ὅταν εἴπῃ ἄνθρωπον ἢ ζῷον, [4]) οὐ μὴν ἀληθές γε, [5]) ἀλλὰ μᾶλλον ποιόν τι σημαίνει· οὐ γὰρ ἕν ἐστι τὸ ὑποκείμενον ὥσπερ ἡ πρώτη οὐσία, ἀλλὰ κατὰ πολλῶν ὁ ἄνθρωπος λέγεται καὶ τὸ ζῷον. οὐχ ἁπλῶς δὲ ποιόν τι σημαίνει, ὥσπερ τὸ λευκόν. οὐδὲν γὰρ ἄλλο σημαίνει τὸ λευκὸν ἀλλ᾽ ἢ ποιόν. τὸ δὲ εἶδος καὶ τὸ γένος περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζει· ποιὰν γάρ τινα

---

1) καὶ τὸ εἶδος δὲ τὸν τοῦ γένους Ar. والنوع يقبل قول جنسه καὶ τὸ εἶδος τὸν τοῦ αὐτοῦ γένους λόγον ἐπιδέχεται.

2) τῶν διαφορῶν λόγον. Ar. قول فصولها τῶν διαφορῶν αὐτῶν λόγον.

3) ἀναμφισβήτητον καὶ ἀληθές. Arabs haec verba inverso ordine legit ἀληθὲς καὶ ἀναμφ.

4) ὅταν εἴπῃ ἄνθρωπον ἢ ζῷον, alii ὁτ. εἴπ. ἄνθρωπον ἢ ζῷον Arabs كقولك الانسان الحيون ὅταν εἴπῃ ὁ ἄνθρωπος, τὸ ζῶον vel ἄνθρ. ζῶον, articulum enim generis (للجنس) graeci non habent. Omisit autem Arabs conjunctionem ἢ.

5) οὐ μήν ἀληθές وليس ذلك حقا legisse videtur οὐ μ. γ. ἀληθὲς τοῦτο.

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de/rosdok/ppn1007313501/phys_0037

οὐσίαν σημαίνει.[1]) ἐπὶ πλεῖον δὲ τῷ γένει ἢ τῷ εἴδει τὸν ἀφορισμὸν ποιεῖται· ὁ γὰρ ζῷον εἰπὼν ἐπὶ πλεῖον περιλαμβάνει ἢ ὁ τὸν ἄνθρωπον.

ὑπάρχει δὲ ταῖς οὐσίαις καὶ τὸ μηδὲν αὐταῖς ἐναντίον εἶναι. τῇ γὰρ πρώτῃ οὐσίᾳ τί ἂν εἴη ἐναντίον, οἷον τῷ τινὶ ἀνθρώπῳ ἢ τῷ τινὶ ζῴῳ; οὐδὲν γάρ ἐστιν ἐναντίον. οὐδέ γε τῷ ἀνθρώπῳ ἢ τῷ ζῴῳ οὐδέν ἐστιν ἐναντίον.[2])οὐκ ἴδιον δὲ τοῦτο τῆς οὐσίας, ἀλλὰ καὶ ἐπ᾽ ἄλλων πολλῶν, οἷον ἐπὶ τοῦ ποσοῦ· τῷ γὰρ διπήχει ἢ τριπήχει[3]) οὐδέν ἐστιν ἐναντίον, οὐδὲ γε τοῖς δέκα, οὐδὲ τῶν τοιούτων οὐδενί, εἰ μή τις τὸ πολὺ τῷ ὀλίγῳ φαίη ἐναντίον εἶναι ἢ τὸ μέγα τῷ μικρῷ. τῶν δὲ ἀφωρισμένων ποσῶν οὐδὲν οὐδενὶ ἐναντίον ἐστίν.[4])

δοκεῖ δὲ ἡ οὐσία μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. λέγω δὲ οὐχ ὅτι οὐσία οὐσίας οὐκ ἔστι μᾶλλον οὐσία καὶ ἧττον οὐ-

---

1) ποιὰν γάρ τινα οὐσίαν σημαίνει. Ar. انهما انما يدلان على جوهر ثانى ما δευτέραν γὰρ μόνον τινὰ οὐσίαν σημαίνει.

2) τῇ γὰρ πρώτῃ οὐσίᾳ τί ἂν εἴη ἐναντίον, οἷον τῷ τινὶ ἀνθρώπῳ ἢ τῷ τινὶ ζῴῳ; οὐδὲν γάρ ἐστιν ἐναντίον οὐδὲ γε τῷ ἀνθρώπῳ, ἢ τῷ ζῴῳ οὐδέν ἐστιν ἐναντίον. Arabs: فماذا ايضا الجوهر الاول كانسان ما فانه لا مضاد له وللانسان ايضا ولا للحيوان مضاد τῇ γὰρ πρώτῃ οὐσίᾳ, οἷον τῷ τινὶ ἀνθρώπῳ, οὐκ ἔστιν ἐναντίον, οὐδέ γε τῷ ἀνθρώπῳ οὐδὲ τῷ ζῴῳ ἐναντίον ἐστίν.

3) ἢ τριπήχει, absunt haec verba a versione arabica.

4) τῶν δὲ ἀφωρισμένων ποσῶν οὐδὲν οὐδενὶ ἐναντίον ἐστίν, Arabs لكن الكم المنفصل لا مضاد له τῷ δὲ ἀφωρισμένῳ ποσῷ οὐκ ἔστιν ἐναντίον, quod tamen pro certo ex verbis arabicis cognosci non potest; nam كم indeclinabile est et pluralem formam non admittit. Fortasse etiam legit τῷ δὲ διωρισμένῳ ποσῷ etc. Probabile enim videtur, nostrum, si legisset ἀφωρισμένω arabico potius vocabulo مقرور usum fuisse, ut supra, ad explicanda verba graeca ἀφορισμός et ἀφορίζειν arabicis utitur اقرار et قرر.

σία [1]) (τοῦτο μὲν γὰρ εἴρηται ὅτι ἔστιν), ἀλλ' ὅτι ἑκάστη οὐσια τοῦθ' ὅπερ ἐστίν, οὐ λέγεται μᾶλλον καὶ ἧττον. [2])οἷον εἰ ἔστιν αὐτὴ ἡ οὐσία [3]) ἄνθρωπος, οὐκ ἔσται μᾶλλον καὶ ἧττον ἄνθρωπος, οὔτε αὐτὸς ἑαυτοῦ οὔτε ἕτερος ἑτέρου· οὐ γάρ ἐστιν ἕτερος ἑτέρου μᾶλλον ἄνθρωπος, ὥσπερ τὸ λευκὸν ἕτερον ἑτέρου μᾶλλόν ἐστι καὶ ἧττον λευκόν, [4]) καὶ καλὸν ἕτερον ἑτέρου μᾶλλον καλὸν καὶ ἧττον λέγεται. καὶ αὐτὸ δὲ αὑτοῦ μᾶλλον καὶ ἧττον λέγεται, οἷον τὸ σῶμα λευκὸν ὂν μᾶλλον λευκὸν εἶναι λέγεται νῦν ἢ πρότερον, καὶ θερμὸν ὂν μᾶλλον θερμὸν καὶ ἧττον λέγεται. ἡ δέ γε οὐσία οὐδὲν μᾶλλον καὶ ἧττον λέγεται· οὐδὲ γὰρ ἄνθρωπος μᾶλλον νῦν ἄνθρωπος ἢ πρότερον λέγεται, οὐδέ γε τῶν ἄλλων οὐδέν, ὅσα ἐστὶν οὐσίαι. ὥστε οὐκ ἂν ἐπιδέχοιτο ἡ οὐσία τὸ μᾶλλον καὶ ἧττον. [5])

---

1) λέγω δὲ οὐχ ὅτι οὐσίας οὐκ ἔστι μᾶλλον οὐσία καὶ ἧττον οὐσία. Ar. ولست اقول انه ليس جوهر باكثر من جوهر فى انه جوهر legisse videtur, λέγω δὲ οὐχ ὅτι οὐσία οὐσίας οὐκ ἔστι μᾶλλον οὐσία, absunt verba καὶ ἧττον.

2) ἀλλ' ὅτι ἑκάστη οὐσία τοῦθ' ὅπερ ἐστίν, οὐ λέγεται μᾶλλον καὶ ἧττον. Ar. ἀλλὰ λέγω ὅτι لكنى اقول ان etc. verba ἑκάστη οὐσία τοῦθ' ὅπερ ἐστίν, vertit ما هو فى جوهر جوهر „quod in substantia est substantia“, quae verba arabica sensum quidem exprimunt verborum graecorum, omisit tamen noster vocem ἑκάστη, quae arabico vocabulo كل vertenda erat.

3) αὐτὴ ἡ οὐσία. Ar. هذا الجوهر fort. leg. αὕτη alii ἡ αὐτὴ οὐσία.

4) καὶ ἧττον λευκόν. Absunt verba καὶ ἧττον a versione arabica, itemque absunt haec verba in iis quae sequuntur μᾶλλον καὶ ἧττον καλόν, ubi Arabs tantum μᾶλλον καλόν.

5) Quae in Pacii Msto. addita sunt „οὐκ ἔστι δὲ οὐδὲ τοῦτο ἴδιον τῆς οὐσίας τὸ μὴ ἐπιδέχεσθαι αὐτὴν τὸ μᾶλλον καὶ τὸ ἧττον· καὶ γὰρ τὸ ποσὸν οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, in arabica versione non leguntur.

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de/rosdok/ppn1007313501/phys_0039

μάλιστα δὲ ἴδιον τῆς οὐσίας δοκεῖ εἶναι τὸ ταὐτὸν καὶ ἓν ἀριθμῷ ὂν τῶν ἐναντίων εἶναι δεκτικόν, οἷον ἐπὶ μὲν τῶν ἄλλων οὐκ ἂν ἔχοι τις τὸ τοιοῦτο προενεγκεῖν, ὅσα μή εἰσιν οὐσίαι, ὃ ἓν ἀριθμῷ ὂν τῶν ἐναντίων δεκτικόν ἐστιν, [1]) οἷον τὸ χρῶμα, ὅ ἐστιν ἓν καὶ ταὐτὸν τῷ ἀριθμῷ, οὐκ ἔσται λευκὸν [2]) καὶ μέλαν, οὐδ' ἡ αὐτὴ πρᾶξις καὶ μία τῷ ἀριθμῷ οὐκ ἔσται φαύλη καὶ σπουδαία· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων, ὅσα μή εἰσιν οὐσίαι. ἡ δέ γε οὐσία ἓν καὶ ταὐτὸν ἀριθμῷ ὂν δεκτικὸν τῶν ἐναντίων ἐστίν, οἷον ὁ τὶς ἄνθρωπος, εἷς καὶ ὁ αὐτὸς ὤν, ὁτὲ μὲν λευκὸς ὁτὲ δὲ μέλας γίνεται, [3]) καὶ θερμὸς καὶ ψυχρός, καὶ φαῦλος καὶ σπουδαῖος. ἐπὶ δὲ

---

1) οἷον ἐπὶ μὲν τῶν ἄλλων οὐκ ἂν ἔχοι τις τὸ τοιοῦτον προενεγκεῖν, ὅσα μή εἰσιν οὐσίαι, ὃ ἓν ἀριθμῷ ὂν τῶν ἐναντίων δεκτικόν ἐστιν. والدليل على ذلك انه لن يقدر احد ان ياتي بشيء مما ليس هو جوهر الواحد منه بالعدد قابل للمتضادات „Argumentum autem hujus rei id est, quod nemo potest afferre aliquid eorum quae non sunt substantia; quod quidem numero unum, contraria admittit.“ Omisit Arabs verba ἐπὶ μὲν τῶν ἄλλων, neque expressit verba τὸ τοιοῦτον. Legit autem ὅσα μή εἰσιν οὐσία, ut omnes veteres editiones habent, quam lectionem etiam in commatio sequenti, ubi haec verba repetuntur, retinuit: οἷον, contra consuetudinem الدليل على ذلك vertit, quod sensum bene exprimit.

2) οὐκ ἔσται λευκόν. Arabs habet لن يكون ابيض „non erit album.“ Particula لن, a grammaticis تأكيد نفي الحال „negatio futuri energica“ appellata, semper negat rem futuram, et sequenti aoristo futuri facit significationem. Legisse igitur videtur οὐκ ἔσται. Praesens enim tempus οὐκ ἐστι, quod nonnulli habent, arabice reddendum erat ما هو ابيض. Eâdem particulâ negativâ لن in verbis etiam quae sequuntur usus est; quam ob causam conjicio eum legisse οὐδὲ ἡ αὐτὴ πρᾶξις — οὐκ ἔσται φαυλὴ καὶ σπουδαία.

3) ὅτε μὲν λευκὸς ὅτε δὲ μέλας γίνεται, Arabs vertit يكون ابيض

τῶν ἄλλων οὐδενὸς φαίνεται τὸ τοιοῦτον, [1]) εἰ μή τις ἐνίσταιτο τὸν λόγον καὶ τὴν δόξαν φάσκων τῶν ἐναντίων εἶναι δεκτικά. [2]) ὁ γὰρ αὐτὸς λόγος ἀληθὴς καὶ ψευδὴς εἶναι δοκεῖ, οἷον εἰ ἀληθὴς εἴη ὁ λόγος τὸ καθῆσθαί τινα, ἀναστάντος αὐτοῦ ὁ αὐτὸς οὗτος λόγος ψευδὴς ἔσται. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς δόξης· εἰ γάρ τις ἀληθῶς δοξάζοι τὸ καθῆσθαί τινα, ἀναστάντος αὐτοῦ ψευδῶς δοξάσει, τὴν αὐτὴν ἔχων περὶ αὐτοῦ δόξαν· εἰ δέ τις καὶ τοῦτο παραδέχοιτο, ἀλλὰ τῷ γε τρόπῳ διαφέρει. [3]) τὰ μὲν γὰρ ἐπὶ τῶν οὐσιῶν αὐτὰ μεταβάλλοντα δεκτικὰ τῶν ἐναντίων ἐστί· ψυχρὸν γὰρ ἐκ θερμοῦ γενόμενον μετέβαλεν (ἠλλοίωται γάρ) [4]) καὶ μέλαν

حينا واسود حينا „mox albus mox niger erit.“ Legit fortasse .... μέλας ἔσται.

1) ἐπὶ δὲ τῶν ἄλλων οὐδενὸς φαίνεται τὸ τοιοῦτον. Ar. ولن يوجد ما يجرى هذا المجرى فى شى مما سوى الجوهر اصلا „nullo modo autem tale quid invenietur in re ulla praeter substantiam.“ Sententiam quidem exprimit haec versio, sed ad verbum minime graecis respondet. Legisse potius videtur ἐπὶ δὲ τῆς οὐσίας οὐδὲν τῶν τοιούτων ὑπάρχει.

2) τῶν ἐναντίων εἶναι δεκτικά. Arabs مما يجرى هذا المجرى τῶν τοιούτων εἶναι δεκτικά.

3) εἰ δέ τις καὶ τοῦτο παραδέχοιτο, ἀλλὰ τῷ γε τρόπῳ διαφέρει, فنقول ان الانسان وان اعترف بذلك فان من الجنسَيْن اختلافا in margine emendatum legitur من الجهتَيْن اختلافا Verba τῷ γε τρόπῳ Arabs pro duali habuit, ita ut sententia versionis arabicae haec sit „Dicimus autem, quod si quis etiam hoc concederet, ab utroque tamen modo (ab utraque tamen parte) diversitas erit.

4) ψυχρὸν γὰρ ἐκ θερμοῦ γενόμενον μετέβαλεν (ἠλλοίωται γάρ) καὶ μέλαν ἐκ λευκοῦ, καὶ σπουδαῖον ἐκ φαύλου. Dissentiunt editores, qua ratione haec verba distinguenda sint, et de lectione verborum μετέ-

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de/rosdok/ppn1007313501/phys_0041

ἐκ λευκοῦ καὶ σπουδαῖον ἐκ φαύλου. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἕκαστον αὐτῶν μεταβολὴν δεχόμενον τῶν ἐναντίων δεκτικόν ἐστιν. ὁ δὲ λόγος καὶ ἡ δόξα αὐτὰ μὲν ἀκίνητα πάντῃ πάντως διαμένει [1]), τοῦ δὲ πράγματος κινουμένου τὸ ἐναντίον περὶ αὐτὰ γίνεται· ὁ μὲν γὰρ λόγος διαμένει ὁ αὐτὸς τὸ καθῆσθαί τινα, τοῦ δὲ πράγματος κινηθέντος ὁτὲ μὲν ἀληθὴς ὁτὲ δὲ ψευδὴς λέγεται. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς δόξης. ὥστε τῷ τρόπῳ γε ἴδιον ἂν εἴη τῆς οὐσίας τὸ κατὰ τὴν ἑαυτῆς μεταβολὴν δεκτικὴν τῶν ἐναντίων εἶναι. εἰ δέ τις καὶ ταῦτα παραδέχοιτο, τὸν λόγον καὶ τὴν δόξαν [2]) δεκτικὰ τῶν ἐναντίων εἶναι, οὐκ ἔστιν ἀληθὲς τοῦτο. ὁ γὰρ λόγος καὶ ἡ δόξα οὐ τῷ αὐτὰ δέχεσθαί τι τῶν ἐναντίων εἶναι δεκτικὰ λέγε-

---

βαλεν et ἠλλοίωται. Edd. Aldd. legunt ἠλλοιοῦται γὰρ καὶ μέλαν ἐκ λευκοῦ. Sylb. et Hild. ἐκ θερμοῦ γενόμενον μετέβαλεν· ἠλλοίωται γὰρ καὶ μέλαν etc. Isingr. ἐκ θερμοῦ γενόμενον μετέβαλεν· ἠλλοίωτο γὰρ καὶ μέλαν. etc. Pacius et Casaubonus, ἐκ θερμοῦ γινόμενον, μεταβάλλει· ἀλλοιοῦται γὰρ μέλαν etc. Arabs لان الشى اذا كان حارا فصار باردا فقد تغير واذا كان ابيض فصار اسود واذا كان مذموما فصار محمودا „quia res, quae calida erat et frigida facta est, mutata est, et quae erat alba et facta est nigra, et quae erat mala, et facta est honesta.“ Praeteritum cui praecedit particula قد, actionem indicat praeteritam et finitam. Verbis igitur فقد تغيّر aoristum μετέβαλεν exprimere voluisse videtur. Verba autem ἠλλοίωται γὰρ a versione arabica absunt.

1) ἀκίνητα πάντῃ πάντως διαμένει, verba, πάντῃ πάντως, quae alii rejecerunt, etiam Arabs expressit, ثابتان غير زائلين لا بنحو من الانحا ولا بوجه من الوجوه „manent immutatae, omni modo atque omni ratione.“ (ad verbum: manent se non mutantes, neque ullo modo, neque ulla ratione.)

2) τὸν λόγον καὶ τὴν δόξαν, Arabs inverso ordine haec verba legit τὴν δόξαν καὶ τὸν λόγον.

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de/rosdok/ppn1007313501/phys_0042

ται, ἀλλὰ τῷ περὶ ἕτερόν τι τὸ πάθος γεγενῆσθαι. τῷ γὰρ τὸ πρᾶγμα εἶναι ἢ μὴ εἶναι, τούτῳ καὶ ὁ λόγος ἀληθὴς ἢ ψευδὴς εἶναι λέγεται, οὐ τῷ αὐτὸς δεκτικὸς εἶναι τῶν ἐναντίων. ἁπλῶς γὰρ οὐθὲν ὑπ᾽ οὐδενὸς οὔτε ὁ λόγος κινεῖται οὔτε ἡ δόξα, ὥστε οὐκ ἂν εἴη δεκτικὰ τῶν ἐναντίων μηδενὸς ἐν αὐτοῖς γινομένου πάθους. [1]) ἡ δέ γε οὐσία τῷ αὐτὴ τὰ ἐναντία δέχεσθαι, τούτῳ δεκτικὴ τῶν ἐναντίων εἶναι λέγεται· νόσον γὰρ καὶ ὑγίειαν δέχεται, καὶ λευκότητα καὶ μελανίαν· καὶ ἕκαστον τῶν τοιούτων αὐτὴ δεχομένη τῶν ἐναντίων εἶναι δεκτικὴ λέγεται. ὥστε ἴδιον ἂν οὐσίας εἴη τὸ ταὐτὸν καὶ ἓν ἀριθμῷ ὂν δεκτικὸν εἶναι τῶν ἐναντίων κατὰ τὴν ἑαυτῆς μεταβολήν. περὶ μὲν οὖν οὐσίας τοσαῦτα εἰρήσθω. [2])

